**αἰολικὸν δακτυλικὸν δίμετρον ἀκατάληκτον**

Trich. 378. 12 sq. Δίμετρον δὲ ἀκατάληκτον τὸ

μέγαν ἄμβροτον.

Schol. B in Hephaest. 273. 25 sqq. τὸ δὲ δακτυλικὸν αἰολικὸν κατὰ μὲν τὰς ἄλλας χώρας πάσας ἐπιδέχεται ὡσαύτως τῷ κοινῷ τούς τε δακτύλους καὶ σπονδείους ὁμοίως καὶ κατὰ τὰς ἀποθέσεις, τὸν δὲ πρῶτον πόδα ἔχει ἕνα τῶν δισυλλάβων ἀδιάφορον. ὅτε μὲν οὖν ἐστιν ἀκατάληκτον, δάκτυλον ἢ ἀμφίμακρον ἔχει τὸν τελευταῖον πόδα· ἐὰν δὲ καταληκτικόν, εἰς δισύλλαβον μέν, σπονδεῖον ἢ τροχαῖον ἔχει τὸν τελευταῖον· εἰς συλλαβὴν δέ, ἀδιάφορον. ὑφίστανται δὲ καὶ ἐν τούτῳ κατὰ ἀφαίρεσίν <τε καὶ πρόσθεσιν> δίμετρά τε καὶ τρίμετρα καὶ ἔτι τετράμετρα καὶ πεντάμετρα (μονόμετρα γὰρ οὐκ ἔχει) καὶ ταῦτα καταληκτικά τε εἰς συλλαβὴν καὶ εἰς δισύλλαβον καὶ ἀκατάληκτα. [*P.S.*]